ὁμιλ. ιϛ'

ἡ μιαθέσης πρὸς τοὺς ἄρχοντας καταπεσούσης· καὶ πάντων βουλευομένων ἀκολούθως περὶ φυγῆς· τοῦ κόμητος εἰσελθόντος εἰς τὴν ἐκκλησίαν καὶ παρακαλέσαντος ταῦτα ἀλήθειας· καὶ εἰς τὸ ἀποστολικὸν ῥητόν· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ:

οὐ παρ' ἐλπίδα μοι ἀπήντησε τῆς ἐκκλησίας μου· ὅτι ταραττομένην τὴν πόλιν ἀκούω· καὶ πάντας περὶ φυγῆς βουλευομένους· εἰσελθὼν παρεκάλεσα ταῦτα μὲν καὶ τῆς χρηστῆς ἡ γὰρ ἀπ' ἐλπίδας· ὑπὲρ ὑμῶν δὲ ᾐσχύνθην καὶ ἠρυθρίασα· ὅτι τῆς ἔξωθεν δεηθέντες παρακλήσεως μετὰ τοὺς πολλοὺς καὶ μακροὺς λόγους ἀκηκόατε· ηὐξάμην διαστῆναί μοι τὴν γῆν καὶ καταδῦναι. ὅτε ἤκουον αὐτοῦ πρὸς ὑμᾶς διαλεγομένου. καὶ νῦν μὲν παραμυθουμένου· νῦν δὲ αἰτιωμένου, τὴν ἄκαιρον ταύτην καὶ ἄλογον δειλίαν· οὐ γὰρ ὑμᾶς παρ' ἐκείνου διδάσκεσθαι ἔδει· ἀλλ' ὑμᾶς τοῖς ἀπίστοις ἅπασιν γενέσθαι διδασκάλους· οὐδὲ δικάζεσθαι παρὰ τοῖς ἀπίστοις. ὁ Παῦλος ἀπηξίωσεν· σὺ δὲ διδάσκῃ παρὰ τῶν ἔξωθεν φανερὰ ἀπήλθες. μετὰ δὲ τοσαύτην τῶν πρώην παραινέσεων. καὶ δραπετεύεις καὶ μαστιγίας τινὰς πόλιν τοσαύτην ἀναπτερώσαντες καὶ εἰς φυγὴν ἐμβαλόντες. ποίοις ὀφθαλμοῖς αὐτοὶ βλέψομεν λοιπὸν τοῖς ἀπίστοις. οὕτως ψοφοδεεῖς ὄντας καὶ δειλούς· ποίᾳ γλώττῃ πρὸς αὐτοὺς διαλεξόμεθα. καὶ πείσομεν θαρρεῖν ὑπὲρ τῶν ἀπειλουμένων ἡμῖν. λαγωῶν ἁπάντων δειλότεροι. ὑπὲρ τῆς ἐσομένης γινόμενοι ταραχῆς· ἐς πτοηθῶμεν φυγήν. ἀνοίγεσθαι καὶ οὐ καλῶς· ἀκούσατε ἀπὸ σοφῶν ἡμῶν πάντων τοῦτο. οὐ γὰρ λογισμῶν τοῦ δύναμιν ἀποκρούσασθαι τὸ δέος.